# TEZAUR LITURGIC

## 19 MAI

GHEORGHIOS GALANOPOULOS

# ACATISTUL SF.13 CUVIOŞI-MUCENICI DE LA KANTARA CIPRULUI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 19 ΜΑΪΟΣ

# ΟΣΙΟΜΑΡΤΥΡΕΣ

# ΚΑΝΤΑΡΑΣ ΚΥΠΡΟΥ

# ΧΑΙΡΕΤΙΣΜΟΙ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

*Κοντάκιον Ἦχος πλ δ΄. Τῇ Ὑπερμάχῳ.*

Τρεισκαιδεκάριθμον, χορὸν ἀνευφημήσωμεν, σεπτῶν Πατέρων, τῆς Μονῆς Καντάρας καύχημα, αἰσχυνάντων τὴν Λατίνων ἄθεσμον πλάνην· παῤῥησίᾳ γὰρ συμφώνως ὡμολόγησαν, ἄχρις αἵματος Χριστοῦ πίστιν Ὀρθόδοξον· διὸ εἴπωμεν· χαίροις ἔνδοξον στράτευμα.

Ἄϋλος κατεπλάγη, ὦ Πατέρες χορεία, ἰδοῦσα τὸν ὑμῶν θεῖον βίον *(γ΄)*· τὸν γὰρ οὐρανοῦ καὶ γῆς Ποιητήν, ἐν Μονῇ τῆς Θεοτόκου ἐδοξάσατε, ἀσκήσει καὶ ἀθλήσει τε· διὸ πόθῳ βοῶμεν ταῦτα·

Χαῖρε, δι' ὧν ὁ Θεὸς ὑμνεῖται·
χαῖρε, δι' ὧν πᾶς ἐχθρὸς σοβεῖται.
Χαῖρε, Ὀρθοδόξων δογμάτων ἀνόρθωσις·
χαῖρε, κακοδόξων ἀνθρώπων κατάπτωσις.
Χαῖρε, ὅμιλος ὁ ἔνθεος, Ἐκκλησίας τοῦ Χριστοῦ·

χαῖρε, σκεῦος ὑμῶν ἕκαστος, Πνεύματος χαρᾶς τ' Αὐτοῦ.
Χαῖρε, χορὸς αὐλιζόμενος Νόοις·
χαῖρε, ἡμῶν οἱ θερμότατοι πρέσβεις.
Χαῖρε, ἀστὴρ λαβὼν φῶς τρισήλιον·
χαῖρε, ἀκτὶς Ἡλίου θεότητος.
Χαῖρε, Μονῆς τῆς Καντάρας ἡ δόξα·
χαῖρε, σατᾶν θρυμματίσαντες τόξα.
Χαίροις, ἔνδοξον στράτευμα.

Βλέπουσα θεοφρόνων, ἡ πληθὺς Χριστοῦ οἴκοις, εἰκόνα τὴν ὑμῶν ἀνακράζει· τὰ σεπτὰ ἆθλα καὶ θαυμαστά, ἐμφανέστατα νῦν ἀληθῶς δείκνυνται· διὸ τῷ γόνυ κλίνουσα, ἀσπαζομένη πίστει, μεθ' ὑμῶν συμψάλλει·
Ἀλληλούϊα.

Γνῶσιν τοῦ ἐναρέτου, καὶ λαμπροῦ ὑμῶν βίου, ἁλκίφρονες ἔγνωμεν ἐκ βίβλων· ὑμῶν γὰρ ἕκαστος, λιπόντες γένος καὶ τρυφάς, ἅπαντ' ὡς σκύβαλα, κατὰ τὸν Παῦλον ἐλογίσασθε, καὶ πρῶτοι Κόνον, Ἰωάννη ἤλθατε, οἰκήσασθαι Μονὴν Καντάρας, οἷς νῦν ᾄδω·
Χαῖρε, Θεοῦ ἀποῤῥήτων μύστης·
χαῖρε, θερμῆς ἱκεσίας πίστις.
Χαῖρε, θαυμασίων Χριστοῦ ῥοῦς ἀείζωος·
χαῖρε, ἰαμάτων κρουνὸς ὁ ἀείῤῥοος.
Χαῖρε, κλῖμαξ ἄνω φέρουσα, τοὺς πιστοὺς πρὸς οὐρανόν·

χαῖρε, πρέσβυ εὐμενέστατε, αἰτημάτων πρὸς Χριστόν.
Χαῖρε, ὁ Ἀσωμάτοις ὁμιλῶν καὶ συνάδων·
χαῖρε, ὁ τοῖς Ὁσίοις ὢν ὁμόσκηνος πόλῳ
Χαῖρε, χαρίτων κῆπος πανεύοσμος·
χαῖρε, ᾀσμάτων λύρα τοῦ Πνεύματος.
Χαῖρε, σοφὸς μοναζόντων προστάτης·
χαῖρε, καλὸς ἀμπελῶνος ἐργάτης.
Χαίροις, ἔνδοξον στράτευμα.

Δύναμιν οὐρανόθεν, ἐξαπέστειλε Πάτερ, πρὸς σὸν φωτισμὸν Θεὸς παντάναξ, καὶ νῦν εὔγνωστον εὗρεν ἐν σοὶ σεπτέ, εἰς ὃν Χριστὸς ἀνεπαύσατο· διὸ ἡγούμενος κατέστης Ἰωάννη, ἐν Καντάρᾳ συγχορδίᾳ Αὐτῷ μέλπων·
Ἀλληλούϊα.

Ἔλαμψας ὥσπερ ἄστρον, Ἰωάννη ἀσκήσει, καὶ Κόνον παραστάτης ἐγένου· εὐλαβεῖς γὰρ ὄντες ἀμφότεροι, καὶ τὸ φιλάδελφον πᾶσιν ἐμπράκτως ἐνδεικνύμενοι, πολλοὺς εἱλκύσατε πίστει, εἰς τὴν μάνδραν Θεομήτορος· διὸ ὑμῖν βοῶμεν πόθῳ·
Χαῖρε, βλαστοῦ ἀμαράντου ῥίζα·
χαῖρε, πιστῶν ἀγλαόκαρπον δένδρον.
Χαῖρε, ἀρετῶν μυροθήκη τοῦ Πνεύματος·
χαῖρε, εὐσεβῶν ἐνθεότατος ὅμιλος.
Χαῖρε, οἴκημα ἀλλότριον, κατοικίας πειρασμῶν·
χαῖρε, δαίμοσιν ὀλέθριος, πονηρῶν ἐπηρειῶν.

Χαῖρε, ὅτι προχέεις ἰαμάτων τὰ ῥεῖθρα·
χαῖρε, ὅτι βαστάζεις Ἐκκλησίας τὰ κλεῖθρα.
Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
χαῖρε, ἐχθροῦ τοῦ πλάνου φυγάδευμα.
Χαῖρε, Θεοῦ πρὸς ἡμᾶς σωτηρία·
χαῖρε, ἡμῶν πρὸς Χριστὸν ἱκεσία.
Χαίροις, ἔνδοξον στράτευμα.

Ζάλης τάραχον σκότος, λογισμῶν ψυχοκτόνων ἐδίωξας, καθάρας τῷ νῷ μάκαρ· καὶ ποιμὴν σὺ τῶν Χριστωνύμων γέγονας, διδάσκων θεωρίαις τε καὶ πράξεσι, τῶν ἀρετῶν τὴν κτῆσιν τοῖς μονάζουσι, Θεῷ δοξολογῶν ἀκαταπαύστως·
Ἀλληλούϊα.

Ἤκουσαν ὑμῶν φήμην, καὶ συνήχθησαν Μᾶρκος, Γεννάδιος καὶ Ἱερεμίας· καὶ σὺν τούτοις, Γεράσιμος Βαρνάβας Ἰωσήφ, Κύριλλος Μάξιμος Θεόκτιστος, Θεόγνωστος καὶ Γερμανός, Πατέρες θεῖοι, οἱ ἐκ Μαχαιρᾶς Μονῆς ἓξ τούτων, ἐν Καντάρᾳ ᾧ ἑκάστῳ λέγω·
Χαῖρε, τῆς Κύπρου πατρίδος γόνος·
χαῖρε, γονέων ἐκλάμπρων κλῶνος.
Χαῖρε, ἀλλοτρίων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, ἡσυχίας σεμνὸν οἰκητήριον.
Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ·
χαῖρε, ὅτι τὰ περίγεια ὑμῶν ἄθλους εὐφημεῖ.
Χαῖρε, διδασκαλίας θεοκίνητον στόμα·

χαῖρε, διακονίας ἀμωμήτου τὸ σῶμα.
Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, λαμπρὸν ἀγάπης παράδειγμα.
Χαῖρε, δι’ ὧν ἡ Τριὰς ἐδοξάσθη·
χαῖρε, δι’ ὧν Παμφυλία ηὐγάσθη.
Χαίροις, ἔνδοξον στράτευμα.

Θεοτόκου ἡ μάνδρα, ἐλαμπρύνθη καὶ πάλιν, λαὸς δὲ ποθητῶς οὖν προσήει· παννυχεὶ ἀγρυπνοῦντες ψαλμοῖς, εὐχαῖς τε ἀεννάως καὶ νηστείαις, πιστοὺς λόγοις ηὐφράνατε, θεόσοφοι Πατέρες, μεθ’ ὧν κἀμεῖς Θεῷ νῦν βοῶμεν·
Ἀλληλούϊα.

Ἰσοστάσιοι ὤφθητε Πατέρες Πατέρων, ἀσκήσει αὐστηρᾷ ὥσπερ ἔδει· ἑνὶ ἑκάστῳ γὰρ ὑμῶν, ἄϋλον φῶς Τριάδος ᾤκησε, πλουσίαν θεϊκὴν χάριν δωρούμενον, τοῦ ἀνυμνεῖν ἐν ᾄσμασι, Θεοῦ τὴν δόξαν, δόγματα ἀπόῤῥητα· διὸ σοφοὶ ὑμῖν ἀεὶ κράζω τοιᾶδε·
Χαῖρε, σεμνὸν τῶν Πατέρων γέρας·
χαῖρε, λαοῦ Ἐκκλησίας γέρας.
Χαῖρε, ψευδωνύμων δαιμόνων ὁ ἔλεγχος·
χαῖρε, τῆς Τριάδος ψαλμὸς ὁ ἀσίγητος.
Χαῖρε, ὅτι ἐξημέρωσας ἤθη ἄγρια ψυχῆς·
χαῖρε, ὅτι καρδινάλιον λόγοις ἔτριψας φυγῇ.
Χαῖρε, πλῆθος κακίας ἐκδιώξας τῆς ποίμνης·
χαῖρε, πλάνου ἐνέδρας ὑπερβὰς ἐν τῇ πίστει.
Χαῖρε, Θεοῦ ἀπίστοις τὸ κήρυγμα·

χαῖρε, πιστῶν πραότητος γνώρισμα.
Χαῖρε, κρατὴρ τῆς ἐλεημοσύνης·
χαῖρε, πτωχῶν πλουτιστὴς καλωσύνης.
Χαίροις, ἔνδοξον στράτευμα.

Κήρυκες θαυμασίων παραδόξων ὑπῆρξαν, Πατέρες οἱ πιστοὶ νήσου Κύπρου· οὐ μὴν ἀλλὰ καὶ τῶν Λατίνων ἡ πληθύς, καθ' ὃ Εὐστόργιος ὁ ἄστοργος, Ἀνδρέαν ἔπεμψεν, ἀγγεῖλαι μοναχοῖς τοῦ συμφρονῆσαι, καὶ ἀζύμοις λειτουργίαν ἐκτελέσαι, καὶ συνᾆσαι·
Ἀλληλούϊα.

Λάτιον θέλων πάντας ἐν τῇ γῇ κυριεῦσαι, ὡς κράτος ἐξουσίαν λαβόντα, καὶ ὑποδουλῶσαι τῇ πίστει αὐτοῦ λαόν, ἐν ῥήμασι καὶ ἔργοις διαβόλου πάντοτε, εἰργάσατο παγίδας, κατὰ τῶν Καντάρας μοναχῶν, χρησάμενον ἰσχῦος ἀπειλήν, εἰ μὴ πείσῃ τούτους, οὓς τιμῶμεν·
Χαῖρε, ἀνύψωσις εὐσεβούντων·
χαῖρε, κατάπτωσις δυσσεβούντων.
Χαῖρε, Ἐκκλησίας ἀστὴρ τηλαυγέστατος·
χαῖρε, οἰκουμένης φωστὴρ ἀξιάγαστος.
Χαῖρε, θάλασσα βυθίζουσα τῶν δαιμόνων πειρασμούς·
χαῖρε, κρήνη, μῦρα βλύζουσα καὶ ἀρδεύουσα πιστούς.
Χαῖρε, πύρινη στήλη προσευχῶν γῆθεν πόλῳ·
χαῖρε, ὅτι ἐγνώκεις τῶν Λατίνων τὸν δόλον.

Χαῖρε, τροφὴ πεινώντων ἀκένωτος·
χαῖρε, πατὴρ ἀγάπης ὁ πάντιμος.
Χαῖρε, πιστῶν πυρσευτὰ ἀληθείας·
χαῖρε, ἐξ οὗ ῥεῖθρα χέονται θεῖα.
Χαίροις, ἔνδοξον στράτευμα.

Μᾶρκε ἐν Ἐκκλησίαις προσευχόμενος ἦσθα, σὺν πᾶσιν ἀγρυπνῶν καθ’ ἑκάστην· καὶ νῦν ἐκδυσωπεῖτε Θεόν, ἐν τῇ ἐπουρανίῳ ἱερουργίᾳ, ὦ Ὁσιομάρτυρες, ᾗ οὐχ ἀζύμοις, ἀλλ’ ἀλήκτοις ὕμνοις, μετὰ Νόων καὶ Ἁγίων γίγνεται, ἁπάντων συμψαλλόντων καὶ βοώντων·
Ἀλληλούϊα.

Νῆσος Κύπρος Λατίνοις, δωδεκάτῳ αἰῶνι, ἀπὸ Χριστοῦ οἰκτρῶς ἐδουλώθη· σταυροφόρων γάρ, Ἱεροσολύμοις πορεύεσθαι, δῆθεν ἐλευθερῶσαι, δῃῶσαι λαὸν τὰ Δύσεως φρονήσασθαι, κακόδοξα καὶ ἄθεσμα, βιαίως καθυποβαλεῖν, ὑμᾶς δ’ οὐχ οὕτως· διὸ λέγω·
Χαῖρε, εἰκόνα θεοσεβείας·
χαῖρε, τὸ βάθρον Ὀρθοδοξίας.
Χαῖρε, ἀντιλῆπτορ λαοῦ σου ὁ εὔπορος·
χαῖρε, πεζοπόρων βοήθεια εὔοδος.
Χαῖρε, αὔρα θείου Πνεύματος, ἡ δροσίζουσα πιστούς·
χαῖρε, λῦχνος ἁγιότητος, ὁ φωτίζων τοὺς βροτούς.
Χαῖρε, τῶν θεοφόρων ἀεὶ συμπαραστάτης·
χαῖρε, μετανοούντων ὁδηγὸς καὶ προστάτης.
Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις·

χαῖρε, λαοῦ ἀνόμου παράκλησις.
Χαῖρε, στολὴ εὐπρεποῦς σωφροσύνης·
χαῖρε, ᾠδὴ θεϊκῆς εὐφροσύνης.
Χαίροις, ἔνδοξον στράτευμα.

Ξένα ὄντως ὁρῶμεν, ἐκπληττόμενοι πάντες, τὰ τελούμενα ὑμῖν οὐρανόθεν· βιώσαντες γὰρ χρόνοις ἱκανοῖς, ὡς ἀσκηταὶ ἐν ὑπακοῇ, ὑετούς, δεινὰς κακουχίας, καρτερῶς ἐνέγκατε, πυκτεύων καὶ ἐλαύνων ἕκαστος, δαιμόνων στόφη, μὴ ᾀδόντων·
Ἀλληλούϊα.

Ὅλον φῶς πὰς ἀστράπτων, ἐν εὐχῇ θεαρέστῳ, δοχεῖον τῆς Τριάδος ἐδείχθη· κατεσκήνωσε γὰρ ἀληθῶς, ἅπαν τὸ πλήρωμα, ἐφ' ὑμᾶς σοφοί, τῆς Θεότητος· ἡμεῖς δὲ γνῶντες ἆθλα καὶ εὐπαῤῥησίαστον ὁμολογίαν ὑπὲρ πίστεως, τοῖς ᾄσμασιν ἀνευφημοῦμεν·
Χαῖρε, Θεοῦ μυστηρίων πύλη·
χαῖρε, σεμνὴ εὐλαβείας σμίλη.
Χαῖρε, τῶν δημίων Μαξίμου ἡ βάσανος·
χαῖρε, Ὀρθοδόξων ἐξαίρετος ἔπαινος.
Χαῖρε, φάος ἐκλαμπρότατον, ἀνυψοῦν δόξης Σιών·
χαῖρε, κάτοπτρον Θεότητος, καὶ οἰκήτωρ οὐρανῶν.
Χαῖρε, δεομένους ἀδελφοὺς ἀναψύξας·
χαῖρε, πεπλανημένους ἀσφαλῶς ἀνανήψας.
Χαῖρε, δι' ὧν ἀλλόδοξοι φεύγουσι·
χαῖρε, δι' ὧν πολέμιοι ἥττηνται.
Χαῖρε, σεπτὲ μοναστῶν ἀρχηγέτα·

χαῖρε, στεῤῥὲ τοῦ σατᾶν καθαιρέτα.
Χαίροις, ἔνδοξον στράτευμα.

Πᾶσα ἄϋλος φύσις, κατεπλάγη ἰδοῦσα, ὑμῶν ἔνσαρκον ἰσάγγελον βίον· ὁ γὰρ ἀπρόσιτος Παμβασιλεύς, χαριτώσας ἕκαστον, θαυμαστὸν τοῖς ἄθλοις, καὶ μετὰ τὸ τέλος ἔδειξε, θαυματουργοῦντα μέσῳ τῆς φλογός, τοῖς πίστει, μεθ' ὑμῶν συμψάλλειν·
Ἀλληλούϊα.

Ῥήμασι θεηγόροις, ἐτροπώσω πανσόφως, Λατίνους περὶ ἄζυμον Πάτερ· μὴ ὀρθῶς τοὺς φρονοῦντας, καθ' ἃ Σωτὴρ ἔφησε, καὶ Μαθηταῖς σὺν Πατρᾶσιν, ἐδίδαξαν καὶ παρέδωκαν, διήλεγξας, μεῖνας ἀπτόητος, τοῖς τούτων ἀπειλαῖς· διὸ τρανῇ φωνῇ σοὶ ἀνακράζω·
Χαῖρε, σοφίας Θεοῦ δοχεῖον·
χαῖρε, χαρίτων Αὐτοῦ ταμεῖον.
Χαῖρε, ἀλλοδόξων ἀμφίστομος πέλεκυς·
χαῖρε, κακοτρόπων ὀξύτατον φάσγανον.
Χαῖρε, ὅτι κατησχύνθησαν ἐν σοὶ οἱ σχισματικοί·
χαῖρε, ὅτι κατηυφράνθη σοι πᾶσα γῆ Κυπριακή.
Χαῖρε, καθηγουμένων ἐγκαλλώπισμα θεῖον·
χαῖρε, τῶν ἱερέων τὸ ἐντρύφημα πάντων.
Χαῖρε, φωτὸς Ἡλίου ἀπαύγασμα·
χαῖρε, πιστῶν ἀνθρώπων διάσωσμα.
Χαῖρε, ἰὸν τοῦ ἐχθροῦ γνοὺς εἰς τραῦμα·
χαῖρε, ὁ δοὺς τῷ Θεῷ ἡδὺ ᾆσμα.
Χαίροις, ἔνδοξον στράτευμα.

Σώσατε ἱκεσίαις, ἀεισέβαστοι πάντες, Κυρίῳ ἐφ’ ἡμᾶς δυσωποῦντες· ἐν χαρᾷ γὰρ εἰκόνα τὴν ὑμῶν, πιστῶς κατασπαζόμεθα, καὶ τιμὴν δίδομεν· ἀντίδοτε οὖν κρείττονα, τοῖς ὕμνον Θεῷ μέλπουσι, συμφώνως μεθ’ ἁπάντων·

Ἀλληλούϊα.

Τάξεις ἐπουρανίων, σὺν ὑμῖν Θεὸν ὕμνουν, ἀπαύστως ἐν Μονῇ τῆς Καντάρας· ὁ γὰρ Δημιουργός, ὦ εὐκλεεῖς, παῤῥησίαν τῆς ὁμολογίας δέδωκεν, ἐν ᾗ Λατίνων πλάνας ἠδαφήσατε, κηρύξαντες τὰ δόγματα ὀρθῶς, Χριστοῦ τῆς πίστεως ἐν ἀληθείᾳ, τοῖς βοῶσι·

Χαῖρε, ὁ λύχνος τῆς εὐσπλαγχνίας·
χαῖρε, ὁ φάρος ἐλευθερίας.
Χαῖρε, Ἰωάννη σοφὲ καὶ διδάσκαλε·
χαῖρε, φωτιστὰ λαοῦ ἔνσαρκε Ἄγγελε.
Χαῖρε, σὺ γὰρ ἐπανόρθωσας τῇ μετανοίᾳ μαθητάς·
χαῖρε, σὺ ὅτι ἐσίγησας τοῦ παγκακίστου τὰς φωνάς.
Χαῖρε, τῶν Ὀρθοδόξων φωτεινὸς ὁδοδείκτης·
χαῖρε, Θεοῦ δογμάτων, μάκαρ Κύριλλε μύστης.
Χαῖρε, κλεινὸν Κυπρίων ἀγλάϊσμα·
χαῖρε, σεπτῶν Πατέρων ἀνάστημα.
Χαῖρε, ταχὺς ὦ Γεννάδιε ῥύστης·
χαῖρε, θερμὸς πρὸς Σωτῆρα μεσίτης.
Χαίροις, ἔνδοξον στράτευμα.

Ὕμνους δέξασθε πάντες, ὦ στεῤῥοὶ μελιῤῥύτους, οὓς πέμπομεν πιστῶς ἐκζητοῦντες, ἵνα ῥύσῃτε

νοσημάτων ἡμᾶς, πειρασμῶν, κινδύνων, συμφορῶ, θλίψεως, ἁλώσεως ἐχθρῶν, παθῶν, πυρὸς κολάσεως, προς Κύριον λιταῖς εὐμενεστάτοις, τοὺς βοῶντας·
Ἀλληλούϊα.

Φωτοδότου Δεσπότου, χορηγήσαντος πᾶσι, σοφίαν διηλέγξατε πλάνας· ἐφ' ἥμας γὰρ χάριτος ᾤκησε Πατέρες Φῶς, ὁδηγοῦν πρὸς γνῶσιν τοῦ Θεοῦ ἄριστον· διὸ κἀμεῖς συμψάλλοντες, Χριστοῦ ἄῤῥητον δόξαν, πόθῳ ἀνυμνολογοῦμεν·
Χαῖρε, ᾀσμάτων Δαβὶδ κινύρα·
χαῖρε, Παρθένου ἡδίστη λύρα.
Χαῖρε, θεοφρόνων ψυχὰς ἅπτων Πνεύματι·
χαῖρε, Δωδεκάδος Χριστοῦ οἱ ἑπόμενοι.
Χαῖρε, ὅτι ἀῤῥωστήματα θεραπεύεις ἀληθῶς·
χαῖρε, ὅτι ψυχοτραύματα ἐπουλώνεις θαυμαστῶς.
Χαῖρε, τῶν δεομένων βοηθὸς ἐν ἀνάγκαις·
χαῖρε, πολεμουμένων λυτρωτὴς ἐν κινδύνοις.
Χαῖρε, τῶν δεομένων βοηθὸς ἐν ἀνάγκαις·
χαῖρε, πολεμουμένων λυτρωτὴς ἐν κινδύνοις.
Χαῖρε, λαμπτὴρ Βαρνάβα ἀείφωτε·
χαῖρε, πιστοὺς εὐφραίνων Γεράσιμε.
Χαῖρε, φωτὸς τοῦ Χριστοῦ Μᾶρκε φάρος·
χαῖρε, ἡμῶν ἀνυπέρβλητον θάῤῥος.
Χαίροις, ἔνδοξον στράτευμα.

Χάριν δότε τοῖς πίστει, εὐφημοῦσι τὴν μνήμην, Πατέρες καὶ εἰκόνα τιμῶσι· πόθον ἅγιον δωρήσασθαι,

καρποὺς πνευματικούς, ἀρετῶν ζῆλον ἔνθεον, μετάνοιαν δακρύῤῥοον, διηνεκῆ καὶ ἔμπρακτον, ὁμολογίαν σὺν καλῇ ἀπολογίᾳ, Θεῷ μεθ’ ὑμῶν ᾄδειν·
Ἀλληλούϊα.

Ψάλλοντες θεῖα μέλη, ὑμῶν μνήμην τελοῦμεν, ἀσμένως ὦ Πατέρες Καντάρας· διὸ τὴν στεῤῥὰν τιμῶμεν ἄθλησιν, νήφοντες, εὐχόμενοι, αἰτήματα προσφέροντες, ἃ δέξασθε καὶ πάλιν μάνδραν ἐλευθέραν, ἐξ ἐχθρῶν νῦν δότε, πάντων ᾄδεν·
Χαῖρε, στολὴ εὐπρεπείας θεία·
χαῖρε, χορὸς ἀναβλύζων μῦρα.
Χαῖρε, κιβωτὲ Γερμανὲ ἁγιάσματος·
χαῖρε, θησαυρὲ Ἰωσὴφ θείας χάριτος.
Χαῖρε, Ἱερεμία, ὁσιότητος βάθρον·
χαῖρε, Ὀρθοδοξίας ὦ Θεόγνωστε εὖχος.
Χαῖρε, δι’ ὧν ηὐγάσθη ἡ σύμπασα·
χαῖρε, μεθ’ ὧν καὶ Ἄθως ἀγάλλεται.
Χαῖρε, πιστῶν ταπεινῶς ζώντων φύλαξ·
χαῖρε, ψυχῶν ἡ σωτήριος σάλπιγξ.
Χαίροις, ἔνδοξον στράτευμα.

Ὦ σεβάσμιε θεῖε, Ὁσιόαθλε δῆμε, Καντάρας Μονῆς δόξα ἐν Κύπρῳ *(γ΄)*· τοῖς μέλπουσιν ὑμᾶς τήνδε ᾠδήν, ἀνταπόδοτε ψυχοσωτήρια, σὺν Ὀρθοδόξοις ἀδελφοῖς, κἀμᾶς δὲ ῥύσασθε φρικτῆς κολάσεως, τοὺς συμβοῶντας·
Ἀλληλούϊα.